Liceo Statale Archita
c.m. tapc10000q – c.f.80012270734
Corso Umberto I, 106/b - 74123 Taranto
www.liceoarchita.it
AICC
UNIVERSITÀ DEGLI STUDI DI BARI ALDO MORO
DIPARTIMENTO JONICO IN SISTEMI GIURIDICI ED ECONOMICI DEL MEDITERRANEO SOCIETÀ, AMBIENTE, CULTURE
BCC SAN MARZANO DI SAN GIUSEPPE CREDITO COOPERATIVO ITALIANO

# *XIII Ἀγὼν Ταραντῖνος*
## *Premio «Adolfo Federico Mele»*
## *5 aprile 2024*

*Nel 212 a. C. i Tarantini, che spesso in passato si erano rivolti a condottieri stranieri (per es. a Pirro), dopo la conquista romana congiurarono con Annibale per liberare la loro città dal presidio romano.*

Οἱ Ταραντῖνοι διὰ τὸ τῆς εὐδαιμονίας ὑπερήφανον ἐπεκαλέσαντο Πύρρον τὸν Ἠπειρώτην· πᾶσα γὰρ ἐλευθερία μετ᾽ ἐξουσίας πολυχρονίου φύσιν ἔχει κόρον λαμβάνειν τῶν ὑποκειμένων, κἄπειτα ζητεῖ δεσπότην· τυχοῦσά γε μὴν τούτου ταχὺ πάλιν μισεῖ διὰ τὸ μεγάλην φαίνεσθαι τὴν πρὸς τὸ χεῖρον μεταβολήν· ὃ καὶ τότε συνέβαινε τοῖς Ταραντίνοις.
[….]
Τὸ μὲν οὖν πρῶτον ὡς ἐπ᾽ ἐξοδείαν ὁρμήσαντες ἐκ τῆς πόλεως καὶ συνεγγίσαντες τῇ παρεμβολῇ τῶν Καρχηδονίων νυκτός, ἄλλοι[1] μὲν συγκαθέντες εἴς τινα τόπον ὑλώδη παρὰ τὴν ὁδὸν ἔμειναν, ὁ δὲ Φιλήμενος καὶ Νίκων[2] προσῆλθον πρὸς τὴν παρεμβολήν. Τῶν δὲ φυλάκων ἐπιλαβομένων αὐτῶν, ἀνήγοντο πρὸς τὸν Ἀννίβαν, οὐδὲν εἰπόντες οὔτε πόθεν οὔτε τίνες ἦσαν, αὐτὸ δὲ μόνον τοῦτο δηλοῦντες ὅτι θέλουσι τῷ στρατηγῷ συμμῖξαι.
Ταχὺ δὲ πρὸς τὸν Ἀννίβαν ἐπαναχθέντες ἔφασαν αὐτῷ κατ᾽ ἰδίαν βούλεσθαι διαλεχθῆναι […]
Ὁ μὲν Ἀννίβας περιχαρὴς ἦν διὰ τὸ μόλις ἀφορμῆς ἐπειλῆφθαι πρὸς τὴν προκειμένην ἐπιβολήν, οἱ δὲ περὶ τὸν Φιλήμενον ἔτι μᾶλλον παρώρμηντο πρὸς τὴν πρᾶξιν διὰ τὸ καὶ τὴν ἔντευξιν ἀσφαλῶς γεγονέναι καὶ τὸν Ἀννίβαν ηὑρηκέναι πρόθυμον, ἔτι δὲ τὴν τῆς λείας δαψίλειαν ἱκανὴν αὐτοῖς πίστιν παρεσκευακέναι πρὸς τοὺς ἰδίους. Διότι τὰ μὲν ἀποδόμενοι, τὰ δ᾽εὐωχούμενοι τῆς λείας, οὐ μόνον ἐπιστεύοντο παρὰ τοῖς Ταραντίνοις, ἀλλὰ καὶ ζηλωτὰς ἔσχον οὐκ ὀλίγους.

Condizioni stabilite tra Annibale e i congiurati:
[I congiurati dettero ad Annibale garanzie e ne ricevettero, a condizione che] Καρχηδονίους[3] Ταραντίνους ἐλευθερώσειν καὶ μήτε φόρους πράξεσθαι κατὰ μηδένα τρόπον μήτ᾽ἄλλο μηδὲν ἐπιτάξειν Ταραντίνοις, τὰς δὲ τῶν Ῥωμαίων οἰκίας καὶ καταλύσεις, ἐπειδὰν κρατήσωσι τῆς πόλεως, ἐξεῖναι Καρχηδονίοις διαπράξειν.

(Polibio)

[1] Si tratta degli altri congiurati, artefici del passaggio di Taranto ad Annibale.
[2] Nicone, Filemone erano i capi della congiura.
[3] Καρχηδονίους: è il soggetto della frase, con il predicato verbale all'infinito.

Questionario

Storia

1. Breve ricostruzione della storia di Taranto (IV-III sec. a.C.), in riferimento:
- al frequente ricorso a condottieri stranieri
- al motivo di questo comportamento, secondo quanto attesta anche Polibio
- alla congiura al tempo della guerra annibalica e al suo esito.
2. Notizie sulla cultura a Taranto ai tempi di Archita.

Letteratura

3. Inquadramento storico-letterario dell’autore (Polibio), riguardo ai seguenti argomenti:
- il periodo in cui visse
- gli eventi importanti della sua vita
- i caratteri della sua storiografia
- i motivi che lo spinsero a scrivere la storia di Roma.

Lingua e stile

4. Caratteristiche della lingua e dello stile di Polibio, quali emergono dall’analisi linguistica e stilistica del brano.